32. «ΤΟΥ ΑΥΤΟΥ εἰστὸν Λάζ(αρον) λόγος Γ' καὶ ὅτι αἱ ψυχαὶ βιοθαν[ά]των οὐ γίνονται δαίμονες καὶ περὶ κρίσεως καὶ ἐλέγ. . . .» Ἀρχ. «*Ἐθαύμασα τὴν ἀγάπην*»[1], φ. 203[6].

33. «ΤΟΥ ΑΥΤΟΥ εἰστὸν πλούσιον καὶ εἰστὸν Λάζαρον λό(γος) Δ' καὶ τίνος ἕνεκεν οὐκ εἶπεν ἐλαβες (sic) τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου αλλα απέλ(αβες) (sic) καὶ διατι οἱ μεν δίκαιοι κινδύνοις περιπίπτουσιν οἱ δεαμαρτωλοὶ (sic) τούτους διαφεύγουσιν». Ἀρχ. «*Οὐ τατυχόντα*»[2], φ. 214[6].

Ἀριθ. 33.

Τεῦχος χαρτῶον εἰς 4ον (0,295×0,20) τῆς ΙΔ' ἑκατοντ. καλῶς ἐσταχωμένον, περιέχον δὲ τοὺς Λ' ἀσκητικοὺς λόγους

Ἰωάννου τῆς Κλίμακος.

1. Πίναξ αὐτῶν καὶ εἰκὼν τῆς κλίμακος ἀπὸ φ. 4α.

2. Ἐπιστολὴ τοῦ ἀββᾶ Ἰωάννου, ἡγουμένου τῆς Ραϊθοῦ, πρὸς Ἰωάννην τὸν Σχολαστικόν, φ. 6α.

3. Ἀπάντησις Ἰωάννου τοῦ Σχολαστικοῦ, φ. 7α.

4. «Δανιὴλ μοναχοῦ Ραϊθοῦ, εἰς τὸν βίον τοῦ ἀββᾶ Ἰωάννου, τοῦ κατ' ἐπωνυμίαν Σχολαστικοῦ», φ. 8α—Ἕπεται βίος ἐν ἐπιτομῇ τοῦ αὐτοῦ.

5. «Τοῦ ἀββᾶ Ἰωάννου ἡγουμένου τῶν ἐν Σινᾷ ὄρει μοναχῶν, πλάκες πνευματικαί. Λόγος ἀσκητικὸς, περὶ τῆς τοῦ ματαίου βίου ἀναχωρήσεως: Λόγος α'». Ἕπονται οἱ λοιποὶ λόγοι[3].

Ἀριθ. 34.

Τεῦχος χαρτῶον (0,31×0,205) τῆς ΙΔ' ἑκατ. περιέχον τοὺς ἀσκητικοὺς λόγους

Ἰωάννου τῆς Κλίμακος.

Φέρει δὲ ἐπιγραφὴν τοιαύτην: «Κλίμαξ θείας ἀνόδου». Προηγεῖται προοίμιον, πίναξ καὶ «**Δανιὴλ** μοναχοῦ ταπεινοῦ Ραϊθηνοῦ· εἰς τὸν βίον τοῦ ἀββᾶ Ἰωάννου τοῦ ἡγουμένου τοῦ ἁγίου ὄρους τοῦ Σινᾶ· τὸ ἐπίκλην Σχολαστικοῦ». Ὑπὸ τὴν πέζαν τούτου: «**Δανιὴλ** μοναχοῦ ταπεινοῦ Ραϊθηνοῦ· εἰς τὸν βίον τοῦ κυροῦ Ἰωάννου τοῦ Σχολαστικοῦ· πεπείραμαι κυροῦν ἐν βραχέσι πλεῖστα· ῥήτορι γὰρ κάλλος· συντομία ἔπους». Ἕπεται Ἰωάννου τῆς Κλίμακος ἀπάντησις πρὸς Ἰω. τὸν Ραϊθοῦ, ἔχουσα εἰς τὸ τέλος ταῦτα: *Πρόλογος τοῦ λόγου, οὗ ἡ ἐπωνυμία Πλάκες πνευματικαί· τέλος τούτου.* Ἕπονται οἱ λ' ἀσκητικοὶ λόγοι, ἤτοι αἱ Πλάκες· ὑπὸ τὴν πέζαν δὲ αὐτῶν γέγραπται δι' ἐρυθρᾶς μελάνης· «*Ἀνάγνωθι ὦ ἐπιστάτα· καὶ τὸ ἐν τῇ ἑτέρα σελίδι εἰς ὄνησιν τῶν ἀκουσομένων*», ὅπερ ἐπιγράφεται «*Προσλαλιὰ πνευματικῆς ἀναστάσεως*», ἧς ἡ ἀρχὴ *Ἀναβαίνετε*[1] κτλ. Εἶτα, ἡ εἰκὼν τῆς κλίμακος μετὰ τῶν ἐπιγραφῶν τῶν Πλακῶν, δέκα στίχοι ἀποσβεσθέντες χιαστὶ ὑπ' αὐτοῦ τοῦ ἀντιγραφέως, καὶ τέλος τὸ ἀκόλουθον ἑξάστιχον:

Θεὸς διττὸν οὐκ ἔχων τῶν πνευμάτων·
Ἔχει τὸ περιττὸν· οὐδενὸς τῶν σωμάτων·
Αὐτὸς μετασχὼν οὐρεούσης τετράδος:
Αἰσθήσεων πέφυκεν ἔξω πεντάδος:
Κίνησιν οὐ πάσχων δὲ διπλῆς ἑξάδος:
Φέρει τὸ σεπτὸν τῆς ἀρίστης ἑπτάδος:

Ἕπεται «*Πρὸς τὸν ποιμένα τὸν ἐκεῖσε, τοῦ Ἰωάννου γράψαντος πρὸς τὸν τῆς Ραιθοῦ*» ὁμιλία ἀναγραφομένη λα' παρὰ Σωφρονίῳ (σ. 171). Ἐν τέλει δὲ αὐτῆς ἀναγινώσκονται τὰ ἑξῆς δύο ἐπιγράμματα:

Ἰωάννη κράτιστε τὰς θεωρίας,
Ἐδειξας ἐξέδωκας ὕψωσας μόνος.

Ἄλλο.

Κόπους παρέσχες τοῖς μοναστὰῖς ὡς μόνος,
σκοτεινὰ φράζων ἢ φρονῶν Ἰωάννη.

Τῷ συντελεστῇ τῶν καλῶν θεῷ χάρις.

---

1. Migne, τ. 48, σ. 981.—2. Αὐτ. σ. 991.

3. Ἅπαν τὸ περιεχόμενον τοῦ τεύχους εὕρηται ἐν τῇ ἐκδόσει Migne (Patrol. τ. 88). Ὁ δ' ἐκ τῶν ἡμετέρων μοναχῶν Σωφρόνιος ὁ Ἐρημίτης, θείῳ ζήλῳ κινηθείς, ἐδημοσίευσεν αὐτὸ ἐκ χειρογράφων τοῦ ἁγ. Ὄρους ἐν τεύχει φιλοκάλως τετυπωμένῳ, ἐπιγραφομένῳ δὲ οὕτω: «Κλίμαξ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου καθηγουμένου τοῦ Σιναίου ὄρους τὸ πρῶτον ἤδη (!) ἐκδοθεῖσα ἑλληνιστὶ ὑπὸ τοῦ ἐν Ἁγίῳ ὄρει Ἄθῳ παρὰ τῇ Μεγίστῃ Λαύρᾳ Σωφρονίου Ἐρημίτου ἐπὶ τῇ βάσει μεμβραίνων χειρογράφων τῆς ἐν τῷ ἁγιωνύμῳ ὄρει ἱερᾶς μονῆς τοῦ ὁσίου π. ἡ. Διονυσίου. Δαπάνῃ τῶν ἐκ Ραιδεστοῦ ἀδελφῶν Σ. Κεχαϊόγλου. Ἐν Κωνῃόλει, 1883», εἰς 4ον σελ. 190. Ὁ αὐτὸς δ' ἐξέδωκε καὶ παράφρασιν τῆς Κλίμακος τῷ αὐτῷ ἔτει.

1. Ἴδε ἐκδ. Σωφρονίου σ. 170.